# ΚΥΚΛΟΣ ΤΟΥ ΑΓΑΘΙΑ (έκδ. Beckby)

## Μέρος δεύτερο

### I. Ἀγαθίου Σχολαστικοῦ (297)

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.
τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέῳ,
παίγνιά τ’ ἀμφιέπουσι παρήγορα καὶ κατ’ ἀγυιὰς
πλάζονται γραφίδων χρώμασι ῥεμβόμενοι·
ἡμῖν δ’ οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα ζοφεραῖς φροντίσι τηκόμεναι.

### II. Τοῦ αὐτοῦ (299)

«Μηδὲν ἄγαν» σοφὸς εἶπεν· ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλός, ἠέρθην ταῖς μεγαλοφροσύναις,
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης, τῆς τάχα κερδαλέης·
ἡ δ’ ὑπερηέρθη σοβαρὴν θ’ ὑπερέσχεθεν ὀφρὺν
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.
καὶ νῦν ὁ βλοσυρωπός, ὁ χάλκεος, ὁ βραδυπειθής,
ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης·
πάντα δ’ ἔναλλα γένοντο· πεσὼν δ’ ἐπὶ γούνασι κούρης
ἴαχον· «Ἵλήκοις, ἤλιτεν ἡ νεότης».

**ΙΙΙ. Παύλου Σιλεντιάριου (300)**

Ὁ θρασὺς ὑψαύχην τε καὶ ὀφρύας εἰς ἓν ἀγείρων
    κεῖται παρθενικῆς παίγνιον ἀδρανέος·
ὁ πρὶν ὑπερβασίῃ δοκέων τὴν παῖδα χαλέπτειν,
    αὐτὸς ὑποδμηθεὶς ἐλπίδος ἐκτὸς ἔβη.
καὶ ῥ’ ὁ μὲν ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις·
    ἡ δὲ κατ’ ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον αἶθες,
    σβέσσον ἀγηνορίην, ἐγγὺς ἴδες Νέμεσιν.